νέατον τεκέων σώματα λεύσσω,
νέατον· μόχθους ἕξω κρείσσους,
ἢ λέκτροις πλαθεῖσ' Ἑλλάνων·
ἔρροι νὺξ αὕτα καὶ δαίμων·
ἢ Πειρήνας ὑδρευομένα
πρόσπολος οἰκτρὰ σεμνῶν ὑδάτων [ἔσομαι].
τὰν κλεινὰν εἴθ' ἔλθοιμεν
Θησέως εὐδαίμονα χώραν.
μὴ γὰρ δὴ δίναν γ' Εὐρώτα,
τὰν ἐχθίσταν θεράπναν Ἑλένας,
ἔνθ' ἀντάσω Μενέλᾳ δούλα,
τῷ τᾶς Τροίας πορθητᾷ.

τὰν Πηνειοῦ σεμνὰν χώραν, antistr.
κρηπῖδ' Οὐλύμπου καλλίσταν,
ὄλβῳ βρίθειν φάμαν ἤκουσ'
εὐθαλεῖ τ' εὐκαρπείᾳ·
τάδε δεύτερά μοι μετὰ τὰν ἱερὰν
Θησέως ζαθέαν ἐλθεῖν χώραν.
καὶ τὰν Αἰτναίαν Ἡφαίστου
Φοινίκας ἀντήρη χώραν,
Σικελῶν ὀρέων ματέρ', ἀκούω
καρύσσεσθαι στεφάνοις ἀρετᾶς.
τάν τ' ἀγχιστεύουσαν γᾶν
Ἰονίῳ ναύτα πόντῳ,
ἂν ὑγραίνει καλλιστεύων

---

201 *ΕΚ.* *B*, haec nota erasa in *N* 201 sq. νέατον] Seidler, νέα τοι libri 202 μόχθους δ' Seidler 203 πλασθεῖσ' *BN* 204 αὕτα] Seidler, αὐτὰ *OP* 205 ὑδρευομένα] J. Heiland, ὑδρευσομένα libri (ὑδρευσομένᾳ *B*, ἱδρευσομένα *C*) 206 οἰκτρὰ om. *O* | ἔσομαι delevit Hermann | πρόπολος σεμνῶν ὑδάτων ἔσομαι Dindorf 207 *ΧΟ.* *P* 210 *ΕΚ.* μὴ γὰρ ἐν δίνᾳ γ' *P* 211 τᾶς ἐχθίστας Hartung | θεράπαν *BN*, θεράπεναν corr. in θεράπαιναν *P* 212 μενελάου *N* 213 τῆς *BC*, om. *N* 215 κρϊπίδ' *B*, κρηπίδ' *N* | ὀλύμπου *P* 216 ὄλβον *P* 217 εὐθαλεῖ] εὐαλδεῖ Dobree | εὐκαρπείᾳ] Burges, εὐκαρπίᾳ *BNP*, ἀκαρπία *C* 219 ἐλθεῖν om. *P* 220 ἀτναίαν *C* et ut vid. *B* et ex αἰτναίαν rasura factum *N* 221 φοίνικας *BN* 223 καρύσσεσθε *BN* et fin. ε ex α correcto *C*, κηρύσσεσθαι *P* | στεφάνοις τ' ἀρετὰς *P* 225 ναῦται *P* | Ἰονίου λαίτματι πόντου Herwerden 226 τὰν Nauck | ὑδραίνει *P*